## XXXIV [141B., 106D.]

φημὶ Γέλων' Ἱέρωνα Πολύζηλον Θρασύβουλον,
παῖδας Δεινομένευς, τοὺς τρίποδας θέμεναι.

## XXXV [125B., 98D.]

Ἀργεῖος Δάνδις σταδιοδρόμος ἐνθάδε κεῖται
νίκαις ἱππόβοτον πατρίδ' ἐπευκλεΐσας
Ὀλυμπίᾳ δίς, ἐν δὲ Πυθῶνι τρία,
δύω δ' ἐν Ἰσθμῷ, πεντεκαίδεκ' ἐν Νεμέᾳ.
τὰς δ' ἄλλας νίκας οὐκ εὐμαρές ἐστ' ἀριθμῆσαι.

## XXXVI [112B., 86D.]

μνήσομαι, οὐ γὰρ ἔοικεν ἀνώνυμον ἐνθάδ' Ἀρχεναύτεω
κεῖσθαι θανοῦσαν ἀγλαὴν ἄκοιτιν

βάρβαρα νικήσαντας ἔθνη, πολλὴν δὲ παρασχεῖν
σύμμαχον Ἕλλησιν χεῖρ' ἐς ἐλευθερίην.

alterum etiam A.P.:

ἐξ ἑκατὸν λιτρῶν καὶ πεντήκοντα ταλάντων
†δαρετίου† χρυσοῦ, τᾶς δεκάτας δεκάταν.